eul_wid: jsi-ab

*Φοινικίδης ὁ κωμῳδιοποιός* · Phoenicides the Comic Poet

# Fragments on Feasting

*Ἀποσπάσματα περὶ Εὐωχίας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [spk_β]Δύνασαι
book 1.2 σιωπᾶν; Β. ὥστε
book 1.3 τοὺς τὰς διαλύσεις
book 1.4 συντιθεμένους κεκραγέναι [πᾶσιν] δοκεῖν.
book 1.1 Μύρτων λέγουσι καὶ μέλιτος ἐγκώμια, καὶ τῶν
book 1.2 προπυλαίων καὶ τέταρτον ἰσχάδων. τούτων ἐγευσάμην καταπλεύσας εὐθέως καὶ τῶν
book 1.3 προπυλαίων· κοὐδὲν ἦν
book 1.4 τούτων ὅλως[ln_5]πρὸς ἀτταγῆνα
book 1.5 συμβαλεῖν τῶν βρωμάτων.
book 1.1 Τρίτον δὲ πρὸς
book 1.2 τούτοισι τὸν
book 1.3 σοφώτατον
book 1.4 Χαίριππον. οὗτος, ὥσπερ οἶδας, ἐσθίει μέχρι ἂν διδῷ τις ἢ λάθῃ διαρραγείς. τοιοῦτ’ ἔχει
book 1.5 ταμιεῖον ὥσπερ οἰκίας.
book 1.1 Μὰ τὴν Ἀφροδίτην οὐκ ἂν ὑπομείναιμ’ ἔτι, Πυθιάς, ἑταιρεῖν. χαιρέτω· μή μοι λέγε· ἀπέτυχον· οὐδὲν
book 1.2 πρὸς ἐμέ· καταλῦσαι θέλω. εὐθὺς ἐπιχειρήσασα φίλον εἶχόν
book 1.3 τινα[ln_5]στρατιωτικόν· διαπαντὸς οὗτος τὰς μάχας ἔλεγεν, ἐδείκνυ’ ἅμα λέγων τὰ τραύματα, εἰσέφερε δ’ οὐδέν. δωρεὰν ἔφη
book 1.4 τινά παρὰ τοῦ βασιλέως λαμβάνειν, καὶ ταῦτ’ ἀεί ἔλεγεν· διὰ ταύτην ἣν λέγω τὴν δωρεάν[ln_10]ἐνιαυτὸν ἔσχε μ’ ὁ κακοδαίμων δωρεάν. ἀφῆκα
book 1.5 τοῦτον, λαμβάνω δ’ ἄλλον
book 1.6 τινά, ἰατρόν. οὗτος εἰσάγων
book 1.7 πολλούς
book 1.8 τινας ἔτεμν’, ἔκαε, πτωχὸς ἦν καὶ δήμιος. δεινότερος οὗτος θατέρου μοι κατεφάνη.
book 1.1

ὁ μὲν διήγημ’ ἔλεγεν, ὁ δ’ ἐποίει νεκρούς. τρίτῳ συνέζευξ’ ἡ τύχη με
book 1.2 φιλοσόφῳ, πώγων’ ἔχοντι καὶ τρίβωνα καὶ λόγον. εἰς
book 1.3 προὖπτον ἦλθον ἐμπεσοῦσα δὴ κακόν· οὐδὲν ἐδίδου γάρ· εἴ τι δ’ αἰτοίμην, ἔφη οὐκ ἀγαθὸν εἶναι τἀργύριον. ἔστω κακόν, διὰ τοῦτο δός μοι, ῥῖψον· οὐκ ἐπείθετο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org